φανερόν· ἐπεὶ γὰρ τε-
τράγωνόν ἐστιν τὸ ΑΒ,
ἴση ἐστὶν ἡ ΑΓ τῇ ΒΓ·
καί ἐστιν τὸ ΑΔ τὸ ὑ-
πὸ τῶν ΑΓ, ΓΔ, τοῦ-
τ' ἔστιν τὸ ὑπὸ τῶν ΑΓ,
ΓΒ· ἐὰν ἄρα αἱ παρα-
τεῖναι εὐθεῖαι· καὶ τὰ
ἑξῆς τῆς προτάσεως:-



ιζ Ἐὰν ὦσιν δύο εὐθεῖαι ἄνισοι, τῷ δὲ τετάρτῳ μέρει τοῦ ιζ
ἀπὸ τῆς ἐλάσσονος ἴσον παρὰ τὴν μείζονα παρα-
βληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ καὶ εἰς σύμμετρα
αὐτὴν διαιρῇ μήκει, ἡ μείζων τῆς ἐλάσσονος μεῖ-
ζον δυνήσεται τῷ ἀπὸ συμμέτρου ἑαυτῇ μήκει. καὶ
ἐὰν ἡ μείζων τῆς ἐλάσσονος μεῖζον δύνηται τῷ
ἀπὸ συμμέτρου ἑαυτῇ μήκει, τῷ δὲ τετάρτῳ τοῦ
ἀπὸ τῆς ἐλάσσονος ἴσον παρὰ τὴν μείζονα πα-
ραβληθῇ ἐλλεῖπον εἴδει τετραγώνῳ, εἰς σύμμετρα
αὐτὴν διελεῖ μήκει. Ἔστωσαν δύο εὐθεῖαι ἄνισοι αἱ
Α, ΒΓ, ὧν μείζων ἡ ΒΓ· τῷ δὲ τετάρτῳ μέρει
τοῦ ἀπὸ τῆς ἐλάσσονος τῆς Α, τουτέστιν τῷ ἀπὸ
τῆς ἡμισείας τοῦ Α, ἴσον παρὰ τὴν ΒΓ παραβε-
βλήσθω ἐλλεῖπον εἴδει τετραγώνῳ καὶ ἔστω τὸ ὑπὸ
τῶν ΒΔ, ΔΓ· σύμμετρος δὲ ἔστω ἡ ΒΔ τῇ ΔΓ μή-
κει· λέγω ὅτι ἡ ΒΓ τῆς Α μεῖζον δύναται τῷ ἀ-
πὸ συμμέτρου ἑαυτῇ. τετμήσθω γὰρ ἡ ΒΓ δίχα



κατὰ τὸ Ε σημεῖον· καὶ κείσθω τῇ ΔΕ ἴση ἡ ΕΖ· λοιπὴ ἄρα
ἡ ΔΓ ἴση ἐστὶν τῇ ΒΖ· καὶ ἐπεὶ εὐθεῖα ἡ ΒΓ τέτμηται εἰς
μὲν ἴσαι κατὰ τὸ Ε, εἰς δὲ ἄνισα κατὰ τὸ Δ, τὸ ἄρα ὑ-
πὸ τῶν ΒΔ, ΔΓ περιεχόμενον ὀρθογώνιον μετὰ τοῦ ἀπὸ
τῆς ΕΔ τετραγώνου ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΕΓ τετραγώ-
νῳ· καὶ τὰ τετραπλάσια· τὸ ἄρα τετράκις ὑπὸ τῶν
ΒΔ, ΔΓ μετὰ τοῦ τετράκις ἀπὸ τῆς ΔΕ ἴσα ἐστὶ τῷ τε-
τράκις ἀπὸ τῆς ΕΓ τετραγώνῳ· ἀλλὰ τῷ μὲν τετρα-
πλασίῳ τοῦ ὑπὸ τῶν ΒΔ, ΔΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς Α τετράγωνον·
τῷ δὲ τετραπλασίῳ τοῦ ἀπὸ τῆς ΔΕ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς
ΔΖ τετράγωνον· διπλασίων γάρ ἐστιν ἡ ΔΖ τῆς ΔΕ·
τῷ δὲ τετραπλασίῳ τοῦ ἀπὸ τῆς ΕΓ ἴσον ἐστὶ τὸ ἀπὸ τῆς ΒΓ
τετράγωνον· διπλασίων γάρ ἐστι πάλιν ἡ ΒΓ τῆς ΓΕ·
τὰ ἄρα ἀπὸ τῶν Α, ΔΖ τετράγωνα ἴσα ἐστὶ τῷ ἀπὸ
τῆς ΒΓ τετραγώνῳ· ὥστε τὸ ἀπὸ τῆς ΒΓ τοῦ ἀπὸ
τῆς Α μεῖζόν ἐστι τῷ ἀπὸ τῆς ΔΖ· ἡ ΒΓ ἄρα τῆς Α
μεῖζον δύναται τῇ ΔΖ· δεικτέον ὅτι καὶ σύμμετρος
ἐστὶν ἡ ΒΓ τῇ ΔΖ. ἐπεὶ γὰρ σύμμετρός ἐστιν ἡ ΒΔ τῇ
ΔΓ μήκει, σύμμετρος ἄρα ἐστὶ καὶ ἡ ΒΓ τῇ ΔΓ μήκει· +
ἀλλὰ ἡ ΓΔ ταῖς ΓΔ, ΒΖ ἐστὶ σύμμετρος μήκει· ἴση γὰρ
ἐστὶν ἡ ΓΔ τῇ ΒΖ· καὶ ἡ ΒΓ ἄρα ταῖς ΒΖ, ΓΔ ἐστὶ σύμμε-
τρος μήκει· ὥστε καὶ λοιπῇ τῇ ΖΔ σύμμετρός ἐστιν
ἡ ΒΓ μήκει· ἡ ΒΓ ἄρα τῆς Α μεῖζον δύναται τῷ ἀ-
πὸ συμμέτρου ἑαυτῇ. ἀλλὰ δὴ ἡ ΒΓ τῆς Α μεῖζον δυ-
νάσθω τῷ ἀπὸ συμμέτρου ἑαυτῇ· τῷ δὲ τετάρτῳ
τοῦ ἀπὸ τῆς Α ἴσον παρὰ τὴν ΒΓ παραβεβλήσθω

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo